τας, καὶ ἐν πίστει κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Καὶ νῦν.

Τῶν ἀνθρώπων ὁ πλάστης ἐν γαστρί σου σκηνώσας Θεοχαρίτωτε, ἁπάντων προστασίαν, τῶν ζάλαις κλονουμένων καὶ βοώντων δεικνύει σε· Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Τοῖς ποντουμένοις βιωτικαῖς τρικυμίαις, χεῖρα δίδου Παμμάκαρ ὑμνοῦσι, καὶ ὑπερυψοῦσι Χριστὸν εἰς τοὺς αἰῶνας.

Τῶν σῶν λειψάνων τῶν θεαυγῶν ἁπτομένους, εὐωδίας ἐκπλήρωσον θείας, Κύριον ὑμνοῦντας πιστῶς εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα.

Τοὺς δεομένους ἐκτενῶς Μυροβλύτα, καὶ τὴν χάριν αἰτοῦντας προσδέχου, καὶ δοξολογοῦντας Θεὸν εἰς τοὺς αἰῶνας.

Καὶ νῦν.

Τῶν μολυσμάτων μου τὴν καρδίαν Παρθένε, μετανοίας καθάρισον νίπτροις, ἵνα σὲ δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ἀστέρα Ἰωάννη, σὲ σημειοφόρε, ὁμολογοῦμεν φωσφόρον αὐγάζοντα, τοὺς εὐσεβεῖς ὀρθοδόξως Χριστῷ λατρεύοντας.

Ἐν σάλῳ Ἀθλοφόρε, τοῖς κυματουμένοις πολλῶν κακῶν σοῖς ἱκέταις βοήθησον, διασκεδάζων ἀνέμους τοῦ πολεμήτορος.

Δόξα.

Τὴν δέησίν μου δέξαι, τοῦ ταπεινωθέντος, καὶ χαλεπῶν Ἀθλοφόρε κακώσεων, καὶ ἁμαρτίας ἁπάσης με ἐλευθέρωσον.

Καὶ νῦν.

Ἐλπίδα σωτηρίας τῶν ἐκπεπτωκότων, αἱ γενεαὶ Θεοτόκε γινώσκουσι, διὰ παντὸς ὁμοφώνως σὲ μακαρίζουσαι.

Εἶτα ἀσπαζομένων τῶν Ἀδελφῶν τὸ ἅγιον Λείψανον, ψάλλομεν τὰ παρόντα. Ποίημα τοῦ αὐτοῦ Θεοδώρου.

Πρός, Πᾶσαι τῶν Ἀγγέλων.

Τοὺς συναθροισθέντας τῷ σῷ Ναῷ, ἀοράτων πάντας, ὁρατῶν τε ἐπιβουλῆς, ἡμᾶς τυραννούντων δεόμεθα ῥυσθῆναι, ὑπὸ τῆς χάριτός σου σοφὲ Βλαδίμηρε.

Τὸν στερρὸν ὁπλίτην καὶ ἀθλητήν, ὑπὲρ εὐσεβείας, ἀδαπάνητον θησαυρὸν, τὸν ἐν Βασιλεῦσιν ἅμα καὶ μυροβλύταις, τὸν θεῖον Ἰωάννην πόθῳ ὑμνήσωμεν.